03-11- ΟΡΘΡΟΣ

† Ἀνακομιδὴ τῶν λειψάνων Γεωργίου μεγαλομάρτυρος, τοῦ τροπαιοφόρου..

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος δ΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α΄. **Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β΄. **Π**άντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ΄. **Π**αρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον τοῦ Ἁγίου Γεωργίου

Ἦχος δ΄

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον Ἀπολυτίκιον

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Δόξα...

Ὡς ἥλιος ἔμψυχος, τῇ σῇ ἀθλήσει φανείς, θεσμῷ ἔδυς φύσεως, ἀλλ᾽ ἀνατέλλεις ἐκ γῆς, διὰ τῶν λειψάνων σου, ὅλος λελαμπρυσμένος, τῇ τοῦ Πνεύματος αἴγλῃ, ἐκλάμπων τῇ οἰκουμένῃ, ἰαμάτων ἀκτῖνας, Γεώργιε μεγάλαθλε, πιστῶν ἡ ἀντίληψις.

Καὶ νῦν...

Θεοτοκίον Ἦχος δ΄.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διάσού Θεοτόκε τοὶς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι᾽ οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὸν τὸ κράτος...

ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὁ μέγας ἀριστεύς, καὶ γενναῖος ἀδάμας, Γεώργιος ἡμᾶς, συγκαλεῖ εὐφημῆσαι, αὐτοῦ τὴν θείαν ἄθλησιν, καὶ τὴν αὖθις ἀνάδειξιν, τὴν ἐκ μνήματος, τῶν αὐτοῦ θείων λειψάνων, ἐξ ὧν ἅπασι, ψυχῶν ὅμου καὶ σωμάτων, πηγάζει τὴν ἴασιν.

Δόξα. *Ὅμοιον.*

Τελοῦντες τὴν σεπτήν, κομιδὴν ἐκ τοῦ τάφου, Γεώργιε σοφέ, τοῦ σεπτοῦ σώματός σου, αὐτοῦ τὴν κατάθεσιν, εὐλαβῶς ἑορτάζομεν, ἣν ἐποίησαν, ἐν τῷ τῇ Λύδδῃ ναῷ σου, τῶν χαρίτων σου, τὰς δωρεὰς ἀοράτως, λαμβάνοντες Ἅγιε.

Καὶ νῦν. *Θεοτοκίον.*

Παράλαβε Ἁγνή, Θεοτόκε Παρθένε, τὸν θεῖον Ἀθλητήν, καὶ ἡμῶν

τὸν προστάτην, Γεώργιον τὸν ἔνδοξον, καὶ ἀμφότεροι Κύριον, δυσωπήσατε, ἡμῖν βραβεῦσαι εἰρήνην, καὶ ὁμόνοιαν, καὶ ψυχικὴν σωτηρίαν, καὶ βίου διόρθωσιν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Πάλιν ἀνέτειλε, σοῦ ἡ ἐτήσιος, μνήμη Γεώργιε, Μάρτυς πολύαθλε, καί τάς καρδίας τῶν πιστῶν, εὐφραίνει παναοίδιμε· σέ οὖν ἱκετεύομεν, οἱ τελοῦντες τήν μνήμην σου, Ἅγιε δυσώπησον, τόν οἰκτίρμονα Κύριον, δοθῆναι ἱλασμόν τῶν πταισμάτων, ἡμῖν καί μέγα ἔλεος.

Δόξα.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐκ τῆς γῆς ἀνέτειλεν, ὡς ἑωσφόρος, τὸ σεπτόν σου λείψανον, διὰ τῆς ἀνακομιδῆς, καθαγιάζον Γεώργιε, τοὺς εὐφημοῦντας αὐτοῦ τὴν κατάθεσιν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐξ ἀγνῶν λαγόνων σου, ἀνερμηνεύτως, τόν Χριστόν ἐκύησας, κόσμον λυτρούμενον φθορᾶς, Θεογεννήτορ Πανάμωμε, ἁμαρτανόντων θερμόν ἱλαστήριον..

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε

Ἡ μνήμη Γεώργιε, σοῦ ἡ πανέορτος, λειψάνων σου φέρουσα, σεπτὴν κατάθεσιν, ἐπέστη τοῖς πέρασι, πάντες οὖν συνελθόντες, ἐν φαιδρῷ τῷ προσώπῳ, ᾄσμασι θεηγόροις, τὸν Σωτῆρα ὑμνοῦμεν, τὸν σὲ προστάτην ἄριστον, ἡμῖν δωρησάμενον.

Δόξα.

Καὶ νῦν. Θεοτοκίον.

Παρθένε Θεόνυμφε, Μῆτερ Ἀπείρανδρε, ἀπαύστως ἱκέτευε, τὸν σὸν Υἱὸν καὶ Θεόν, οἰκτειρῆσαι τοὺς δούλους σου, ὅτι μετὰ Θεόν σε, προστασίαν πλουτοῦμεν, καὶ σὲ ἀδιαλείπτως, θερμοτάτῃ καρδίᾳ, ἐν ὕμνοις εὐφημοῦντες, πιστῶς μεγαλύνομεν.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον ἦχος δ΄.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. (δίς)

Στίχος: Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου

Ἦχος β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

ΕΥΑΓΓΕΛΙΟΝ·
ΤΗ ΔΕΥΤΕΡΑ ΤΗΣ
ΙΖ΄ ΕΒΔΟΜΑΔΟΣ
Ἐκ τοῦ κατὰ Μάρκον (ιγ΄ 9 – 13)
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς·
Βλέπετε ὑμεῖς ἑαυτούς.

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς
ὁ Ν΄ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β΄

Ταῖς του Ἀθλοφόρου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Σπίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β΄

Σήμερον ἡ Ἐκκλησία , τοῦ Θεοῦ, ἀγαλλομένη ἑορτάζει, τὴν τῶν σεπτῶν σου λειψάνων ἀνάδειξιν, καὶ ἱερὰν αὐτῶν κατάθεσιν, Μεγαλομάρτυς Γεώργιε· φύλαξ γὰρ αὐτῆς, καὶ πρόμαχος ὤφθης, καὶ προστάτης θερμότατος. Πρέσβευε οὖν, δεόμεθα Κυρίῳ, πάσης ἀνάγκης καὶ θλίψεως, ἡμᾶς ἀεὶ ῥύεσθαι.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ')

Ἐλέει καὶ οἰκτιρμοῖς...

ΚΑΝΟΝΕΣ

Ὠδὴ α΄.

Κανὼν τῆς Θεοτόκου,

Ὠδὴ α΄. Ἦχος δ΄.

Ὁ Εἱρμός.

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Σπίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Αἰσθήσεων Δέσποινα, διπλῆν πεντάδα συνέτισον, δεκάχορδον ὄργανον, δεῖξον σῇ χάριτι, τὴν ὑπερχρόνον, Σοφίαν ἡ τεκοῦσα, ἁρμόνιον ὅπως σοι, ᾄσῳ μελῴδημα.

Σπίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἰσχύϊ Πανάμωμε, βουλῆς μεγάλης ὁ Ἄγγελος, ὁ πάντα στησάμενος, ἐκ τοῦ μὴ ὄντος τὸ πρίν, ἐπεδήμησεν, ἐκ σοῦ δι' εὐσπλαγχνίαν, καὶ σχίσας τὸν κώδικα, λύσιν δεδώρηται.

Σπίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νεφέλην σὲ ἔμψυχον, τοῦ Πατρικοῦ ἀπαυγάσματος, γινώσκομεν Δέσποινα, Ἀνατολὴν τοῦ φωτός, τοῦ φωτίσαντος, ἡμῶν τὴν ἀκοσμίαν, καὶ πάντας ἑλκύσαντος, πρὸς τὰ οὐράνια.

Σπίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὡράθης ἀσύγκριτος, κόσμος τῶν ἄνω Δυνάμεων, καὶ πάσης τῆς κτίσεως, Θεογεννῆτορ Ἁγνή, ἡ θεώσασα, τὴν φύσιν τῶν ἀνθρώπων, καὶ Ἅδην νεκρώσασα, μόνῃ τῷ τόκῳ σου.

Κανὼν πρῶτος τοῦ Ἁγίου,

Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν νοῦν ἑλλάμπρυνον, τῇ φωταυγείᾳ τοῦ Πνεύματος, παμμάκαρ Γεώργιε, καὶ πλῆσον χάριτος, νῦν τὸν λόγον μου, ὅπως σου τῶν λειψάνων, τὴν σεπτὴν κατάθεσιν, μέλψω γηθόμενος.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ἥλιος πάμφωτος, ὑπὸ γῆν ἔδυς Γεώργιε, διὰ τῆς ἀθλήσεως, τὸ πρώην ἔνδοξε, νῦν δ' ἀνέτειλας, αὖθις Τροπαιοφόρε, διὰ τῶν λειψάνων σου, τῆς ἀναδείξεως.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νέον ἔαρ ἅπασιν, ἐν μετοπώρῳ ἐξέλαμψεν, ἡ μνήμη λειψάνων σου, τῆς καταθέσεως, καὶ ἐνέπλησεν, ἀῤῥήτου εὐωδίας, ψυχὰς τῶν τιμώντων σε, Μάρτυς Γεώργιε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον.

Λυχνία χρυσήλατος, ἐδείχθης μόνη Πανάμωμε, ἑπτὰ λύχνους ἔχουσα, χάριτας Πνεύματος, καὶ λαμπάδιον, Χριστὸν φέρουσα μέσον, καὶ ἔξ καλαμίσκους δέ, τὴν τελειότητα.

Κανὼν δεύτερος,.

Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀκτῖσι λαμπόμενος θεϊκαῖς, Γεώργιε Μάρτυς, ὡς περίδοξος Ἀθλητής, καταύγασον πάντας τοὺς τιμῶντας, τὴν τοῦ σεπτοῦ σου λειψάνου κατάθεσιν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰάσεις πηγάζον παντοδαπάς, Γεώργιε Μάρτυς, ἐκομίσθη ἀπὸ τῆς γῆς, τὸ θεῖόν σου σκῆνος ἁγιάζον, τὰς διανοίας ἡμῶν καὶ τὰ σώματα.

Δόξα...

Ναόν σοι ἀνήγειραν εὐκλεῆ, τὸ πάλαι τῆς Λύδδης, οἱ οἰκήτορες εὐλαβῶς, ἐν ᾧ σου κατέθεντο τὸ σῶμα, πνευματικὴν ἑορτὴν συγκροτοῦντές σοι.

Καὶ νῦν...Θεοτοκίον.

Ὁ πᾶσι τὸ εἶναι παρεσχηκώς, ἀρχὴν ἐκ σοῦ Κόρη, προσελάβετο χρονικήν, τεχθεὶς ἐξ ἀχράντων σου αἱμάτων, ὁ τὸν Ἀδὰμ ἀναπλάσας δι' ἔλεος.

Ὠδὴ γ'. Ἦχος δ'. Ὁ Εἱρμός.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νενίκηνται φύσεως οἱ ὅροι, καὶ λέλυνται νόμοι φυσικοί, τῇ ὑπὲρ νοῦν λοχείᾳ σου, Παρθενομῆτορ Ἄχραντε, ἐκ σοῦ γὰρ ὁ ἀνείδεος, σαρκὸς τὸ εἶναι προσείληφε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἁμίαντον κλίνην Σολομών σε, κατεῖδεν ἑξήκοντα σοφοῖς, πυργουμένην Δέσποινα, ἐν ᾗ Θεὸς τὸ πρόσλημμα, ἀνακλιθεὶς προσέλαβε, καὶ τοῖς βροτοῖς προσωμίλησε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πορφύραν ἁγνῶν σου ἐξ αἱμάτων, ὁ Λόγος φορέσας τοῦ Θεοῦ, δίχα τροπῆς καὶ φύρσεως, καὶ τοῦ Ἀδὰμ τὴν γύμνωσιν, καλύψας περιέβαλε, τὴν θεϊκὴν ὡραιότητα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀστέκτου Θεότητος χωρίον, καὶ πόλις ἡ ἔμψυχος Θεοῦ, σὺ ὤφθης

Παναμώμητε, ἐν μεγάλα εἴργασται, τῆς ἀπορρήτου γνώσεως, ἃ ἐξ αἰῶνος οὐκ ἤκουσται.

Τοῦ Ἁγίου. Ἦχος δ΄.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐφάνη ὁ τάφος σου Στρατάρχα, Γεώργιε ἤδη ἀνοίγεις, οὐ τάφος λιπὼν ὄσφρησιν, παράδεισος δὲ εὔχαρις, εὐωδιάζων ἅπαντας, πνευματικαῖς διαδόσεσι.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰδοὺ εὐωδία γλυκύτατη, ἰδοὺ εὐωδία μυστική, ἰδοὺ ὀσμὴ οὐράνιος, τῆς κόνεως ἐξέρχεται, Γεωργίου τοῦ Μάρτυρος· δεῦτε αὐτῆς ἀπολαύσωμεν.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ψαύσωμεν προσάψωμεν καρδίας, καὶ χείλη καὶ ὄμματα πιστοί, καὶ συνεχῶς φιλήσωμεν, τὰ λείψανα τοῦ Μάρτυρος, χάριν ἀπαρυόμενοι, τὴν ἐξ αὐτῶν ἀναβλύζουσαν.

Σπίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θεοτοκίον.

Ἀσπόρως συνέλαβες Παρθένε, ἀκό-πως ἐβάστασας Ἁγνή, ἀφθόρως δὲ ἐγέννησας, Θεὸν τὸν Ὑπερούσιον. Ὦ τέρατα παράδοξα! Τίς νοῦς βροτῶν οὐκ ἐξίσταται;

Δεύτερος. Οὐρανίας ἀψῖδος.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σκεῦος εὔχρηστον θεῖον, τῆς θεϊκῆς χάριτος, καὶ τῆς ὑπὲρ νοῦν εὐωδίας, κατοικητήριον, τὸ σεπτὸν σκῆνός σου, ἀπὸ τοῦ τάφου ἐφάνη, τοῖς πιστοῖς οἰκέταις σου, Μάρτυς Γεώργιε.

Σπίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῶν Μαρτύρων ἡ δόξα, τὸ τῶν πιστῶν στήριγμα, ὁ Τροπαιοφόρος ὑμνείσθω, Μέγας Γεώργιος· πᾶσι παρέχει γάρ, ἐκ τοῦ σεπτοῦ αὐτοῦ σκήνους, ῥῶσιν ἀδαπάνητον, ψυχῆς καὶ σώματος.

Δόξα...

Ὡς λειμὼν πανευώδης, ὁ ἱερὸς τάφος σου, ἔπνευσεν ὀσμὴν οὐρανίαν, ὅτε ἠνέωκται, ἔνθα κατέκειτο, δεδοξασμένον ἁγίως, τὸ σεπτόν σου λείψανον, Μάρτυς Γεώργιε.

Καὶ νῦν... Θεοτοκίον

Σαρκωθέντα ἀφράστως, τόν του παντὸς Κύριον, ἐκ τῶν σῶν παναγνῶν αἱμάτων, Παρθένε τέτοκας· ὃν καθικέτευε, κατοικτειρῆσαί με Κόρη, τὸν ἀμέτροις πάθεσιν, ἐξαπολλύμενον.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...

Κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Τὰ ἐγκαίνια τοῦ σοῦ, Μάρτυς, Γεώργιε ναοῦ, ἑορταζοντες σεπτῶς, καὶ τὴν κατάθεσιν ὅμου, τοῦ παναγίου λειψάνου σου καὶ ἀνάδειξιν, τρυγῶμεν ἐξ αὐτοῦ, χάριν καὶ ἔλεος, καὶ πόνων χαλεπῶν, τὴν ἀπολύτρωσιν, ὑμνολογοῦντες τοὺς θείους ἀγῶνάς σου, καὶ μετὰ πόθου κραυγάζοντες· Χριστὸν δυσώπει, τοὺς σὲ τιμῶντας, σῴζεσθαι πάσης θλίψεως.

Δόξα.

Τοῦ Σταυροῦ τῷ σημείῳ καθοπλισθείς, ἐν αὐτῷ τῶν τυράννων πᾶσαν ἰσχύν, ἀνδρείως κατέβαλες, ὡς τῆς πίστεως πρόμαχος, τὴν ἀθεΐαν πᾶσαν, εἰδώλων διήλεγξας, καὶ τοὺς πιστοὺς θεόφρον, τῇ πίστει ἐστήριξας· ὅθεν ἐπαξίως, τοὺς τῆς νίκης στεφάνους, ἀθλήσας ἀπέλαβες ἐκ χειρὸς τοῦ Κυρίου σου, Ἀθλοφόρε Γεώργιε· πρέσβευε Χρι-στῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ χήρα ἐκείνη δύο λεπτά, προσφέρω σοι Δέσποινα, ὑπὲρ πασῶν τῶν χαρίτων σου· σὺ γὰρ ὤφθης σκέπη, ὁμοῦ καὶ βοήθεια, πειρασμῶν καὶ θλίψεων, ἀεὶ με ἐξαίρουσα· ὅθεν ὡς ἐκ μέσου φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με, ἐκ καρδίας κραυγάζω σοι, Θεοτόκε βοήθει μοι· πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

Κοντάκιον.

Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τῇ ὑπερμάχῳ καὶ ταχείᾳ ἀντιλήψει σου, προσπεφευγότες οἱ πιστοὶ καθι-κετεύομεν, λυτρωθῆναι διά σου Χριστοῦ Ἀθλοφόρε, τῶν σκανδάλων τοῦ ἐχθροῦ καὶ πάσης θλίψεως, καὶ παντοίων συμ-φορῶν καὶ περιστάσεων, τοὺς βοῶντάς σοι· Χαίροις Μάρτυς Γεώργιε.

Ὁ Οἶκος.

Μέγας ἐν προστασίαις, ἐπὶ γῆς ἀνεδείχθης, Γεώργιε Χριστοῦ Ἀθλοφόρε· τὸν γὰρ πιστὸν λαὸν εἰσαεί, περισκέπων σῴζεις ἐκ πάσης θλίψεως· διό σου τὴν ἀντίληψιν, κηρύττοντες ἀναβοῶμεν

Χαῖρε, ὁ ἥλιος ἐν τοῖς ἄστροις·

χαῖρε, ὁ μέγιστος ἐν τοῖς ἄθλοις.

Χαῖρε, αἰχμαλώτων ταχεῖα ἐκλύτρωσις·

χαῖρε, τῶν πασχόντων ὀξεῖα ἀντίληψις.

Χαῖρε, ὕψος τῶν ἐκ πίστεως προστρεχόντων σοι θερμῶς·

χαῖρε, πλοῦτος τῶν ποθούντων σε καὶ ἐν πᾶσι βοηθός.

Χαῖρε, ὅτι ὑπάρχεις βασιλέων τὸ τεῖχος·

χαῖρε, ὅτι παρέχεις ἐν πολέμοις τὸ νῖκος.

Χαῖρε, ἀστὴρ φωτίζων τοὺς πλέοντας·

χαῖρε , πρηστὴρ φλογίζων τοὺς δαίμονας.

Χαῖρε, εἰς ὃν πᾶς πιστὸς καταφεύγει·

χαῖρε, πρὸς ὃν πᾶσα γλῶσσα κραυγάζει.

Χαίροις, Μάρτυς Γεώργιε.

Συναξάριον.

Τῇ Γ' τοῦ αὐτοῦ μηνός ἑορτάζομεν τὰ ἐγκαίνια τοῦ ναοῦ τοῦ ἁγίου Μεγαλομάρτυρος Γεωργίου ἐν Λύδδῃ, ἤτοι τὴν κατάθεσιν τοῦ ἁγίου σώματος αὐτοῦ.

Στίχοι

Ναοῦ τὰ ἐγκαίνια, Μάρτυς, καὶ θέσιν,

Τῶν λειψάνων σου νῦν γεραίρει ἡ κτίσις.

Τῇ αὐτῇ ἡμέρᾳ , μνήμη τῶν ἁγίων Μαρτύρων Ἀκεψιμᾶ, Ἰωσὴφ καὶ Ἀειθαλᾶ.

Στίχοι

Ἀκεψιμᾶν κτείνουσιν ἐκ ῥαβδισμάτων·

Ἀκεψιμᾶ δὲ τοὺς φίλους ἐκ λευσμάτων.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀκεψιμᾶ.

Στίχοι

Τήξας ἑαυτὸν ἐγκρατείᾳ καὶ πόνοις,

Ἀκεψιμᾶς μετῆλθεν ἔνθα μὴ πόνοι.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου, Ἐπισκόπου Ἀγκύρας.

Στίχοι

Δῶρον σὺ δωρῇ τῇ πόλει τῆς Ἀγκύρας,

Ὦ Θεόδωρε, ἐκ Θεοῦ τοῦ τῶν ὅλων.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Μαρτύρων, Δασίου, Σεβήρου, Ἀνδρωνᾶ, Θεοδότου καὶ Θεοδότης, ξίφει τελειωθέντων.

Στίχοι

Σύμμαρτυς ἔστω καὶ γυνὴ τοῖς ἀνδράσι,

Τετμημένοις τέσσαρσι συντετμημένη.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ Ὅσιος Πατὴρ ἡμῶν Ἠλίας ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Τῶν ἀρετῶν εἰς ἅρμα προβὰς Ἠλίας,

Πόλῳ προσῆλθεν, ὥς περ ἄλλος Ἠλίας.

Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι ἐννέα Μάρτυρες ξίφει τελειοῦνται.

Στίχοι

Ψυχαῖς ἀτρέπτοις χερσὶ τμηθέντες πλάνων,

Πλάνην περιτρέπουσιν ἄνδρες ἐννέα.

Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι κή Μάρτυρες πυρὶ τελειοῦνται.

Στίχοι

Φλέγουσιν ἄνδρας πέντες δὶς καὶ δὶς δύο,

Οἷς συμφλέγουσι πέντε δὶς καὶ δὶς δύο.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Ἀχεμενίδου τοῦ Ὁμολογητοῦ.

Στίχοι

Ἀχεμενίδης τὸν Θεὸν ποθῶν Λόγον

Δόξης ἀφειδεῖ πατρικῆς καὶ βασάνων.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου Πατρὸς ἡμῶν καὶ νέου Ἱερομάρτυρος Γεωργίου τοῦ Νεαπολίτου (1797).

Στίχοι

Γεώργιον ἔμψυχον Κυρίῳ ὤφθης,

Γεώργιε ὅσιε, τμηθεὶς τὴν κάραν.

Τῇ αὐτῇ ἡμέρᾳ, ἀνάμνησις τῆς ἀνακομιδῆς τῆς τιμίας Κάρας τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἀποστόλου τοῦ Νέου, ἐκ τῆς Κωνσταντινουπόλεως, εἰς τὸν Ἅγιον Λαυρέντιον Πηλίου ἐν ἔτει 1796

Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

Ὠδὴ α'. Ἦχος δ'.

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

ᾠδὴ γ'

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ἡ ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον. ᾠδὴ δ'

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε. ᾠδὴ ε'

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

ᾠδὴ ς'

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες. ᾠδὴ ζ'

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνη-τε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η'

Σπίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος δ')

Σπίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Σπίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Σπίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Σπίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Σπίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Σπίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία. Ὠδὴ θ'.

Ἅπας γηγενής, σκιρτάτῳ τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, ἱερὰν πανήγυριν, τῆς Θεομήτορος, καὶ βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἐξαποστειλάριον.

Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.

Ἰδοὺ πάλιν ἐφέλκεται, πρὸς ἑαυτὴν ἡ εὔσημος, σοῦ ἑορτὴ Ἀθλοφόρε, τῶν φιλοχρίστων τὰ πλήθη, συνήθως ἀξιάγαστε, εὐεργετῆσαι, θέλουσα. Γεώργιε θεσπέσιε, γενναῖε Μάρτυς Κυρίου, ὀλοθρευτὰ τῶν δαιμόνων.

Ἕτερον.

Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὡς ἥλιος ἐπέλαμψε, τῶν σεπτῶν σου λειψάνων, ἡ πάντιμος καταθεσες, γῆς τοῖς πέρασε πᾶσι, Γεώργιε Ἀθλοφόρε, διὸ λύσιν πταισμάτων, δίδου ἡμῖν τοῖς δούλοις σου, Στρατηλάτα Κυρίου τοῖς τὴν λαμπράν, καὶ φωσφόρον μνήμην σου ἐκτελοῦσιν, ἐν θεοκρότοις ᾄσμασι, παναοίδιμε Μάρτυς.

Θεοτοκίον. Ὅμοιον

Λόγου Θεοῦ Μητέρα σε, ἀνυμνοῦμεν σὺν πόθῳ, ἐν θεοπνεύστοις ᾄσμασι, Παναγία Παρθένε, οἱ διά σου σεσωσμένοι· νέμοις οὖν Θεοτόκε, τοῖς ἀναξίοις δούλοις σου, ἱλασμὸν καὶ εἰρήνην καὶ φωτισμόν· ὅσα γὰρ ἂν θέλῃς δύνασαι Κόρη, ὡς πάντων οὖσα Δέσποινα, προστασία τοῦ κόσμου.

ΑΙΝΟΙ. Ἦχος πλ. δ'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Ἦχος πλ. δ'.

Ὦ τοῦ παραδόξου θαύματος!

Σπίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Δεῦτε συστήματα ἅπαντα, φιλομαρτύρων φαιδρῶς, τῷ γενναίῳ ἐν Μάρτυσι, Γεωργίῳ ᾄσωμεν, θεοκρότητα ᾄσματα, καὶ τῶν λειψάνων αὐτοῦ τὴν λάρνακα, πίστει καὶ πόθῳ καταφιλήσωμεν, καὶ ἐκβοήσωμεν· Ἅγιε Γεώργιε, φρούρει ἡμᾶς, ἐκ παντοίας βλάβης τε, καὶ περιστάσεως.

Σπ/χ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Θεῖος θησαυρὸς κρυπτόμενος, πολύτελὴς ἐν τῇ γῇ, τὸ πολύαθλον σκῆνός σου, Ἀθλητὰ Γεώργιε, πεφανέρωται σήμερον, τῇ Ἐκκλησίᾳ Χριστοῦ καὶ δείκνυται, βλύζουσα κρήνη ῥεῖθρα ἰάσεων, πᾶσι τοῖς κάμνουσιν, ἐν ποι κίλοις πάθεσι, καὶ σοῦ πιστῶς, μνήμην τὴν πανίερον, πανηγυρίζουσι.

Σπ/χ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Χαίροις εὐσεβείας ἔρεισμα· χαῖρε τῆς ἄνω ζωῆς, κληρονόμε ἀΐδιε· χαῖρε ἐγκαλλώπισμα, τῶν Μαρτύρων καὶ καύχημα· τροπαίων χαῖρε τὸ μέγα τρόπαιον· Τροπαιοφόρος καὶ γὰρ σο κέκλησαι, χαῖρε ἀντίληψις, τῶν προσκαλουμένων σε· χαῖρε γλυκύ, πρᾶγμά τε καὶ ὄνομα, πιστοῖς Γεώργιε.

Σπ/χ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ἄλλον οὐρανὸν κατάστερον, τοῖς θαυμασίοις ὀρῷ, τὸν ναόν σου τὸν ἅγιον, ἐν ᾧ εἰσερχόμενος, ὡς λαμπρότατον ἥλιον, τῷ νοΐ βλέπω τὴν θείαν χάριν σου, καὶ ὡς σελήνην τὸ σὸν ὁμοίωμα. Ὅθεν σου δέομαι· τὴν ψυχήν μου κόσμησον, τὴν σὲ ᾠδαῖς, κοσμοῦσαν καὶ πρέσβευε, Χριστῷ σωθῆναι ἡμᾶς.

Δόξα. Ἦχος δ΄.

Ἡ ἁγιαστικὴ τοῦ Πνεύματος χάρις, διὰ τοῦ μαρτυρίου, ὅλον σε σώματι καὶ ψυχῇ, ναὸν αὐτῆς ἐργασαμένη πανάγιον, καὶ ἐν τῷ χωρισμῷ τούτων, ἀχώριστος αὕτη, ἑκατέρων μεμένηκεν, ὥσπερ οὐδὲ ἐν τῷ τριημέρῳ του Κυρίου θανάτῳ, τῆς σαρκὸς καὶ τῆς ψυχῆς, ἡ Θεότης κεχώρισται. Ὅθεν, τὴν μὲν ψυχήν σου ἐν οὐρανοῖς, μακαρίαν εἰργάσατο, τὸ δὲ σῶμά σου ἐν γῇ, εὐωδίας ἀῤῥήτου πηγήν, καὶ θαυμάτων ἀνέδειξεν, οὗ νῦν τὴν κατάθεσιν ἑορτάζοντες, πιστῶς ἐκβοῶμέν σοι· Πρέσβευε ὑπὲρ ἡμῶν, Ἀθλητὰ Γεώργιε.

Καὶ νῦν. Ἦχος δ΄.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη. Ἦχος δ΄.

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον τοῦ Ἁγίου Γεωργίου

Ἦχος δ'

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

ΑΝΤΙΦΩΝΑ (τῆς ἑορτῆς)

Ἀντίφωνον Α'

Ἦχος β'

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β'. Ἦχος β'.

Στίχ. Αἶνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρω-θείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ'

Ἦχος δ'.

Στίχ. α'. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἀπολυτίκιον τοῦ Ἁγίου Γεωργίου

Ἦχος δ'

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον τοῦ Ἁγίου Γεωργίου

Ἦχος δ'

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον Ἀπολυτίκιον

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὡς ἥλιος ἔμψυχος, τῇ σῇ ἀθλήσει φανείς, θεσμῷ ἔδυς φύσεως, ἀλλ' ἀνατέλλεις ἐκ γῆς, διὰ τῶν λειψάνων σου, ὅλος λελαμπρυσμένος, τῇ τοῦ Πνεύματος αἴγλῃ, ἐκλάμπων τῇ οἰκουμένῃ, ἰαμάτων

ἀκτῖνας, Γεώργιε μεγάλαθλε, πιστῶν ἡ ἀντίληψις.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον Ἦχος β΄

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ.
ΤΟΥ ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ.

Προκείμενον. Ἦχος βαρύς

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.

Στίχ. **Ε**ἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα 12:1-11

Κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. Καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον· ἦσαν δὲ αἱ ἡμέραι τῶν ἀζύμων· ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν, βουλόμενος μετὰ τὸ Πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ. Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ. Ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν δεδεμένος ἁλύσεσι δυσί, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. Καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου ἤγειρεν αὐτὸν λέγων· Ἀνάστα ἐν τάχει. Καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. Εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· Περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου. Ἐποίησε δὲ οὕτω. Καὶ λέγει αὐτῷ· Περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολούθει μοι. Καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου, ἐδόκει δὲ ὅραμα βλέπειν. Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς, καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ᾽ αὐτοῦ. Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ εἶπε· Νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλε Κύριος

τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρῴδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

Ἀλληλούϊα. (γ΄) Ἦχος β΄.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τὸ Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Ἦχος β΄

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Ἦχος β΄

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων

Καλλιτεχνικὴ ἐπιμέλεια

ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη

Ἱεροψάλτη

στὸν Ι.Ν. Ἁγίου Γεωργίου

Κουλούρας Βέροιας.